# ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΔΙΑΣΤΟΛΗ.

### Ἡ περὶ Ἀπαγγελίας καὶ Στιγμῆς.

### Α. Περὶ Ἀπαγγελίας.

Ἔνθα μὲν ἡ τῶν συντεθειμένων ἀπαρτίζεται διάνοια, διακριτέον ἐνταῦθα ἐπὶ πολὺ τὸ πνεῦμα, μέχρι πολλοῦ ἀναπαύοντας, καὶ εἰς πλέον τι χρόνου διάστημα τῶν ἐφεξῆς αὐτὸ διϊστῶντας, καὶ διακόπτοντας, μέχρις οὗ ἀποδῶμεν τοῖς ἀκροωμένοις τῆς τῶν ἀπαγγελλομένων διανοίας τὸ τέλειον.

Ἔνθα δὲ ἡ διάνοια οὐ συναπαρτίζεται, παρ᾽ ἔλλειψιν τινὸς τῶν τοῦ λόγου συστατικῶν μερῶν, ἐπικρεμαμένη, καὶ ζητοῦσα τὸ ἐλλειπὲς εἰς ἐντέλειαν, ἐπ᾽ ἐλάχιστον τοῦ χρόνου διάστημα τῶν ἐφεξῆς τὸ πνεῦμα διακόπτοντας, καὶ μικρόν τι τῆς φωνῆς ὑποχαλῶντας, καὶ λύοντας· οὕτως ἀπαγγελτέον ἕκαστον· μέχρις οὗ εἰς τὸ τέλειον τῆς διανοίας καταντήσωμεν, καὶ τελείως στῶμεν.

Ἔνθα δὲ ἡ τῶν συντεθειμένων διάνοια μέση ἐστὶ, μήτε πάμπαν ἀτελῶς, μήτε πάμπαν τελείως, κόπτοντας μὲν τελείως τὴν φωνὴν, οὐκ ἐπὶ πολὺ δὲ χρόνου διάστημα, καθάπερ, ὅτε ἡ διάνοια αὐτοτελὴς ἐστίν.

Ε.Υ.Δ της Κ.τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

Ἔνθα δὲ παρεντίθεταί τι ἔξω τῆς προκειμένης ὑποθέσεως, ὅπερ καὶ ἀρθὲν, οὐδὲν τὸ τοῦ λόγου λυμαίνεται· τὸ τοιοῦτον ὑποχαλῶντας τῆς φωνῆς τὸν τόνον, ἀπαγγελτέον.

Καὶ ὅλως ἡ ἀπαγγελία οὐ μόνον κατὰ διάνοιαν, ἀλλὰ καὶ καθ' ὑπόκρισιν γίνεσθαι ὀφείλει. Γίνεται δὲ τοῦτο, ὅταν ἕκαστον τούτων ἐκφέρηται τὸν τρόπον, ὃν ὁ τοῦ λόγου πατὴρ ἐβούλετο· τὰ μὲν γὰρ πευστικῶς· τὰ δὲ, κατ' ἀνθυποφορὰν· τὰ δὲ, κατ' ἀγανάκτησιν· παρατεινομένου τοῦ ἤχου, καὶ δι' ὀργῆς ὑπερβαλούσης, οἴκτου τε καὶ ὀλοφυρμοῦ, καὶ ἑνὶ λόγῳ ἕκαστον, καθ' ἣν ἀπαιτεῖ ὁ νοῦς ἀπαγγελίαν, ἐκφέρειν προσήκει· οὗ διδάσκαλος αὐτὴ ἡ φύσις ἐστί.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Β΄. Περὶ Στιγμῆς.

Στιγμὴν δὲ λέγομεν σημεῖά τινα, οἷς χρώμεθα καθ' ἑκάστης διανοίας τὸ τέλος, εἰς ἔνδειξιν τοῦ τρόπου τῆς ἀπαγγελίας. Εἰσὶ δὲ ταῦτα. Στιγμὴ ( . ). Ὑποδιαστολὴ ( , ). Ἐρωτηματικὸν ( ; ). Ἐπιφώνημα ( ! ). Παρένθεσις ( ).

### Στιγμή.

Στιγμαί εἰσι τρεῖς, κατὰ τὰς τρεῖς διαφορὰς τῆς συνθέτου διανοίας. Τελεία, Μέση, καὶ Ὑποστιγμή· ὧν ἡ μὲν Τελεία τίθεται ἐν τῷ μέσῳ τῆς λευκῆς γραμμῆς ἐπὶ τῷ τέλει, ὅταν ἡ διάνοια αὐτοτελὴς ᾖ· οἷον· Σωκράτης φιλοσοφεῖ. Ὅτε ὄμβρος ἐγένετο· τότε ὄρθρος ἀνέτειλεν. Ἡ δὲ Μέση, πρὸς τὸ ἐπάνω μέρος τῆς λευκῆς γραμμῆς ἐπὶ τέλει τῆς μέσης διανοίας· οἷον· Ὅτε ὄμβρος ἐγένετο· Ἡ δὲ Ὑποστιγμὴ πρὸς τὸ κάτω μέρος τῆς λευκῆς γραμμῆς ἐπὶ τέλει τῆς ἀτελοῦς διανοίας· ὅτε καὶ τῇ ὑποδιαστολῇ ὡς ἐπὶ τὸ πλεῖστον χρῶνται· οἷον· Σωκράτης περιπατῶν· διαλέγεται. Σωκράτης περιπατῶν, διαλέγεται.

Ε.Υ. Δ... Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

## Ὑποδιαστολή.

Ἡ δ' Ὑποδιαστολὴ τίθεται.

α΄. Ἐν δυοῖν τινων λέξεων διαιρέσει περὶ σύστασιν ἀμφιβαλλομένων· οἷον· ἔστιν, ἄξιος· καὶ ἔστι, Νάξιος· ἔστιν, οὗς· καὶ ἔστι, νοῦς· ὅ, τε· ὅτε. τό, τε· τότε.

β΄. Ὅτε κατ' ὄνομα ἀναπαύεται ἡ διάνοια· οἷον· ὁ φαρμακός, ὁ λοιγός· εἰ γὰρ Αἰακός, ἢ Ῥαδάμανθυς, ἢ Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, οὐκ ἂν αὐτόν, οἶμαι, ταῦτ' εἰπεῖν.

γ΄. Ἐν τοῖς ἐπιμεριζομένοις, ὅτε δι' ἄρθρων ἐκφέρεται· οἷον· τῶν ἀνθρώπων οἱ μέν, εἰσὶν Ἕλληνες· οἱ δέ, βάρβαροι.

δ΄. Καὶ ἐν τοῖς κατ' ἔννοιαν ὑπερβατοῖς, καὶ τῇ κλητικῇ· οἷον· χρῶμαι, οἷς ἔχω, βιβλίοις. Ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ἑλέσθαι νομίζω.

## Ἐρωτηματικόν.

Ὅταν ἐρωτῶμεν ἢ καθ' ἑαυτοὺς διαποροῦντες, ἢ πρὸς ἄλλους ἀποτεινόμενοι κατὰ τὸ τέλος τῆς ἐρωτήσεως τίθεμεν τὸ ἐρωτηματικόν· ἔνθα δηλονότι ἀναπαύεται ὁ ἐρωτῶν· οἷον. πότερον, σιωπῶ, ἢ λέγω; τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;

## Ἐπιφώνημα.

Ἐν δὲ τοῖς Σχετλιασμοῖς, ἢ θαυμαστικοῖς, ἢ προσφωνηματικοῖς τίθεμεν τὸ ἐπιφώνημα· οἷον. φεῦ τῆς δυστυχίας! βαβαὶ τῶν μυστηρίων! ὦ Σώκρατες!

Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## Παρένθεσις.

Ὅταν δὲ μεταξὺ τῶν λεγομένων παρενείρηταί τινα κατὰ παρέκβασιν, ὥστε, καὶ ἐὰν ἀρθῶσιν ἐκ μέσου, μηδὲν τὰ τῆς ἐννοίας λυμαίνεσθαι, τότε τοῖς σημείοις τῆς Παρενθέσεως ἐμπερικλείομεν ταῦτα· οἷον· γράμματα μὲν (ἥτισα γάρ.) οὐκ εἶχον ἐπιδεικνύναι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Γ΄. Περί τινων ἄλλων σημείων.

Ἔνθα ἢ ἐᾶταί τι μεταξὺ τῶν λεγομένων, ἢ παραλείπεται, τίθενται ἢ τρεῖς στιγμαὶ ἐφεξῆς, ἢ μικρά τις γραμμὴ εἰς διάκρισιν· οἷον. Θουκυδίδης Ἀθηναῖος συνέγραψεν ... ἀρξάμενος· καί, ὦ — τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι· καὶ ἔνθα δηλονότι ἀποσιωπᾶταί τι.

Ὅταν δὲ ἄλλων περιόδους, ἢ περικοπὰς πρὸς μαρτυρίαν, ἢ ὡς ἂν ἄλλως, ἐν τῷ λόγῳ εἰσάγωμεν, ἐν τῇ ἀρχῇ τῶν στίχων τιθέαμεν μηνύσκους οὕτως. » οἷον· τὴν ἔξω σοφίαν ἀποδεχόμενος ὁ μέγας » Γρηγόριος φησίν· » Οἶμαι δὲ πᾶσιν ἂν ὁμολογεῖσθαι τῶν νοῦν ἐχόντων » παίδευσιν τῶν παρ᾽ ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον. — ἣν οἱ πολλοὶ » Χριστιανῶν διαπτύουσιν ὡς ἐπίβουλον καὶ σφαλεράν, καὶ Θεοῦ πόρ» ρω βάλλουσαν, κακῶς εἰδότες. « Καὶ ἔνθα ἐν τοῖς συγγράμμασι γνῶμαί τινες παρενσπείρονται· καὶ ἔνθα δημηγορίαι εἰσί· κἀκεῖναι γὰρ τοῖς μηνύσκοις διακρίνονται.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

## Λύσις.

Λύει δὲ τὴν Σύνθεσιν ἡ Ἀκυρολεξία, τὸ Κακόζηλον, καὶ οἱ Ἀρχαϊσμοί.

### Ἀκυρολεξία.

Ἀκυρολεξία μέν ἐστι τὸ μὴ κεχρῆσθαι τοῖς ἰδιάζουσι, καὶ ὅσα προσφυῶς ἀφώρισται τοῖς πράγμασιν· οἷον· ὑπώπιον φᾶναι περὶ τοὺς πόδας παθεῖν, καὶ πρόσκομμα περὶ τὸ πρόσωπον, ὧν ἐπὶ ποδῶν μὲν τὸ πρόσκομμα, ἐπὶ προσώπου δὲ τὸ ὑπώπιον κυριολεκτεῖται.

### Κακόζηλον.

Κακόζηλον δέ ἐστι τὸ γριφῶδες τοῦ λόγου καὶ δυσκαταμάθητον, καὶ γραμματικῶν δεόμενον ἐξηγήσεων καὶ πολὺ τὸ βεβιασμένον ἔχον, καὶ σολοικοφανὲς ἐν τοῖς σχήμασι· τὰ γὰρ τοιαῦτα, φασὶν, οὐ δεῖ ζηλοῦν θαυμάζοντας, ὡς τὴν τοῦ λόγου λύοντα σύνθεσιν.

### Ἀρχαϊσμός.

Ἀρχαϊσμὸς δέ ἐστιν ὅσα ὡς ἐπ' ἔλαττον ἥκουσιν εἰς χρῆσιν διὰ τὸ παρὰ τοῖς ἀρχαίοις εὑρίσκεσθαι· καὶ οὐ καθ' οὓς χρόνους ἡ γλῶσσα τὴν ἐνδεχομένην λαβοῦσα διόρθωσιν, ἐν ἀκμῇ ἦν· ταῦτα δ' εἰσί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π.Π ΙΩΑΝΝΙΝΑ 2006

α΄. Ὅταν ἐν τοῖς μερισμοῖς ἡ τοῦ ὅλου γενικὴ εἰς τὴν τῶν μερῶν πτῶσιν λαμβάνηται· οἷον· καὶ οἰκεῖαι αἱ μὲν πολλαὶ, ἐπεπτώκεσαν· ὀλίγαι δὲ περιῆσαν.

β΄. Ὅταν ὁ ἀπόλυτος τρόπος τῆς μετοχῆς καὶ κατὰ τὰς λοιπὰς γίνεται πτώσεις. Κατ' ὀνομαστικὴν μὲν· οἷον· μέλλων δὲ πέμπειν με Οἰδίπου κλεινὸς γόνος, ἐν τῷ δ' ἐπεστράτευσαν Ἀργεῖοι. Κατὰ δοτικὴν δὲ, Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι, τὰ μὲν πολλὰ ἡσύχασαν οἱ Λακεδαιμόνιοι. Κατ' αἰτιατικὴν δὲ· οἷον· Ἥδεσθαι τοῦ δ' ἕνεκα, ὡς περιεσομένους ἡμέας τῶν Ἑλλήνων.

γ΄. Ὅταν ἡ Προστακτικὴ· ἢ ἡ Εὐκτικὴ τιθῆται ἀντὶ ὁριστικῆς· οἷον· οὐκ οἶδ' ὅ,τι ποίησον· ἀντὶ ποιήσεις· τὰ σκάφη μὲν οὐχ εἷλκον, ἀναδούμενοι τῶν νεῶν, ἃς καταδύσειαν· ἀντὶ κατέδυσαν.

δ΄. Ὅταν ἀντὶ ὀνομαστικῆς τιθῆται αἰτιατική· οἷον· δεινὸν τὸν κήρυκα τὸν παρὰ βροτοὺς οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν· ἀντὶ μὴ νοστῆσαι.

ε΄. Ὅταν ἀντὶ προθετοπτώτου ἀπαρεμφάτου λαμβάνηται μετοχὴ· οἷον· καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται.

Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, εἰ καὶ εὑρίσκεται παρὰ τοῖς ἐνδοξοτέροις τῶν λογίων, ἀλλὰ γοῦν ἐπ' ἔλαττον, καὶ οἷον ἀρχαϊσμοὶ ὡς σχήματα ἐν τῷ λόγῳ κεῖται· ἡμῖν δὲ διευλαβητέα καὶ ταῦτα, ὡς λύοντα τὴν ὀρθὴν τοῦ λόγου σύνθεσιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΠΑΡΑΡΤΗΜΑ.

## ΠΑΡΕΠΟΜΕΝΑ ΤΗ͂Ι ΓΡΑΜΜΑΤΙΚΗ͂Ι.

Τέσσαρα δὲ φασὶ ταῦτα παρέπεσθαι τῇ Γραμματικῇ. Ἀνάγνωσιν, Ἐξήγησιν, Κρίσιν, καὶ Διόρθωσιν.

### Ἀνάγνωσις.

Ἡ μὲν οὖν Ἀνάγνωσις τριχῶς γίνεται. ά. Καθ' Ὑπόκρισιν, ὅταν κατὰ τὰ πάθη τῆς φωνῆς καὶ τοῦ σώματος ἀναγινώσκωμεν ἕκαστα. β'. Κατὰ Προσῳδίαν. Ὅταν κατὰ τοὺς τόνους καὶ πάθη ἑκάστης λέξεως ἀναγινώσκωμεν ἕκαστα. γ'. Κατὰ Διαστολήν· ὅταν ἀναγινώσκοντες, ἐν μὲν τῇ τελείᾳ διανοίᾳ τελείως στῶμεν· μέσως δ' ἐν τῇ μέσῃ, καὶ ἀτελῶς, ἐν τῇ ἀτελεῖ.

### Ἐξήγησις.

Ἐξηγοῦμεν δὲ τὰ συντεθειμένα, εἰς τὴν φυσικὴν τάξιν μεταποιοῦντες ἕκαστα, καὶ οὕτω τὴν ἑρμηνείαν ποιοῦντες, μεταφέροντες εἰς τὸ ἰδίωμα τῆς γλώσσης, ἣν διδάσκομεν, ἕκαστα.

### Κρίσις.

Ἡ δὲ Κρίσις γίνεται. ά. Τῇ κατὰ τοὺς τόπους τῶν λέξεων ὀρθότητι· ὅτε ἐξετάζεται ἑκάστη τῶν λέξεων, ὡς ἔχει σχηματισμοῦ. β'. Τῇ κατὰ τὰς δυνάμεις χρήσει, ὅταν ἡ κυρία τῆς λέξεως ἐξετάζη-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.ΠΑ.ΝΕ.Κ.Ε.Φ. ΙΩΑΝΝΙΝΑ 2006

ται σημασία. γ'. Τῇ προσῳδίᾳ· ὅταν ἡ τῶν προσῳδιῶν χρῆσις κρίνηται. δ'. Τῇ γραφῇ· ὅταν, ὅπως ἑκάστη λέξις ἔχει γραφῆς, ἐξετάζηται· ε'. Τῇ καταλλήλῳ ἐπιπλοκῇ, ὅταν κατὰ τοὺς λόγους τῆς συντάξεως ἑκάστων ἡ ἐξέτασις γίγνηται. ς'. Τῷ τῆς λέξεως Ἑλληνισμῷ, ὅταν ᾖ εὐαπόδοτον, ἴδιον, εὔφραστον, μὴ ἀμφιβαλλόμενον, καὶ ἐπὶ πᾶσι σαφὲς τὸ κρινόμενον.

## Διόρθωσις.

Ἡ δὲ Διόρθωσις γίνεται. α'. περὶ λέξιν· ὅταν διορθοῦται ἑκάστη τῶν λέξεων ἐν σχηματισμῷ, προσῳδίᾳ, καὶ ὀρθογραφίᾳ, τηρουμένης τῆς κυριολεξίας. β'. Περὶ λόγον· ὅταν κατὰ τοὺς κανόνας τῆς συντάξεως μεταποιεῖται ἕκαςα εἰς τὸ δέον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ὈΝΟΜΑΣΤΙΚΟΝ.

## ΠΕΡΙΈΧΟΝ ΤᾺΣ ΕἸΣ ΤῸΝ ΚΟΙΝΩΝΙΚῸΝ ΒΊΟΝ ἈΝΑΓΚΑΙΟΤΆΤΑΣ ΔΙΑΦΌΡΩΝ ΠΡΑΓΜΆΤΩΝ ΣΗΜΑΝΤΙΚᾺΣ ΛΈΞΕΙΣ ἘΝ ΔΙΑΦΟΡΟΙΣ ὙΠΟΘΈΣΕΣΙΝ.

### Ά. Περὶ Κόσμου.

Κόσμον λέγομεν τὸ σύμπαν τοῦτο τοῦ Θεοῦ δημιούργημα, περιέχον οὐρανὸν καὶ γῆν καὶ θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Καὶ οὐρανὸς μέν ἐστι πᾶν τὸ ὑπὲρ τὴν ἡμετέραν ὄψιν κείμενον, καὶ ἐπ᾽ ἄπειρον διάστημα ἐπεκτεινόμενον, ἐν ᾧ ἥλιος, σελήνη, ἀστέρες, οἵ τε ἀπλανεῖς καὶ κατεστηριγμένοι, καὶ οἱ πλάνητες ἢ πλανῆται, καὶ οἱ κόμην τινὰ ἐπισύρειν δοκοῦντες, καὶ διὰ τοῦτο κομῆται καλούμενοι. Ἐν τῷ οὐρανῷ δὲ λογίζεται καὶ ἡ ἀτμοσφαῖρα, ἐν ᾗ νεφέλαι αἰωρούμεναι κρέμανται, αἳ καὶ νέφη καλοῦνται· καὶ πετεινὰ ἵπταται. Γῆ δὲ, ἣν οἰκοῦμεν σφαῖραν, εἰς ξηρὰν καὶ ὕδωρ μεριζομένη· ἧς ἡ μὲν ξηρὰ ὄρη κατέχει, καὶ πεδία, καὶ νάπας, καὶ φάραγγας, καὶ ὕλας· ἐφ᾽ ἧς ἄνθρωποι καὶ παντοῖα ζῶσι ζῶα· τὸ δὲ ὕδωρ, ὠκεανοὺς, θαλάσσας, λίμνας, ποταμοὺς, καὶ πηγὰς προβάλλεται, ἐν οἷς νήχονται ἰχθύες. Σύμπας δέ τοι ὁ κόσμος ἐκ τεσσάρων συνέστηκε στοιχείων, ἐξ ὧν τὰ λοιπὰ πέφυκε σώματα· ταῦτα δέ εἰσι γῆ, ὕδωρ, πῦρ, ἀήρ· εἴτ᾽ οὖν ξηρὸν, ὑγρὸν, θερμὸν, ψυχρόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

## Β΄. Περὶ Οὐρανοῦ.

Ὁ μὲν οὖν Οὐρανὸς, τὸ μέγα τοῦτο καὶ ἀκατανόητον διάστημα, ὥς γε αἰσθήσει εἰκάσαι, κυκλοῦν φαίνεται τὴν γῆν, καὶ περὶ αὐτὴν τρέφεσθαι, ὥστε περὶ τὸ μέσον διὰ τοῦτο νομίζεσθαι τὴν γῆν τοῦ παντός. Τῶν δὲ ἐν οὐρανῷ, ὁ μὲν ἥλιος αὐγάζει πᾶσαν τὴν γῆν διὰ τῶν ἑαυτοῦ ἀκτίνων· καὶ οὐδ' αἱ νεφέλαι ἐπιπροσθεῖν αὐτοῦ τὸ φῶς δύνανται· αἱ γὰρ ἀκτῖνες αὐτοῦ δι' αὐτῶν διϊοῦσαι, καὶ ἀπαύγασμα τοῦ φωτὸς αὐτοῦ παρέχουσαι, ἀποσοβοῦσι τὸ σκότος· ἡ δὲ σελήνη διαδέχεται τὸν ἥλιον, καὶ μετ' αὐτὸν φέγγει ἐπὶ γῆς, λαμπρὸν καὶ ἀσθενὲς φῶς πέμπουσα, καὶ διαφόρους φάσεις μεταβάλλουσα· μηνοειδής τε καὶ οἷον δρεπανοειδὴς φαινομένη, καὶ ἡμιφαὴς, τὸ ἥμισυ τοῦ κύκλου δεικνύουσα, καὶ πλησιφαὴς, πλησίον γενομένη τοῦ ἀποπληρῶσαι τὸν κύκλον· καὶ παμφαὴς ἡ πανσέληνος, ὅλον κύκλον φωτὸς ὁρᾷν ἡμῖν παρέχουσα· οἱ δ' ἀστέρες φαίνονται, λαμπρὸν φῶς ἐκπέμποντές τε καὶ στίλβοντες. Ἀλλ' ὁ ἥλιος ὅσον μὲν ὑπὲρ γῆν φαίνεται, ἡμέρα ἐστὶν, ὅσον δὲ ὑπὸ γῆν κρύπτεται, νὺξ, καὶ σκότος, τῆς σελήνης μὴ φωτιζούσης. Καὶ πρὸ ἡλίου μὲν ἀνατολῆς ὄρθρος γίνεται· ἡλίου δὲ ὑποφαινομένου, ἠώς· καὶ πρὸ μὲν δύσεως ἡλίου, δείλη· εὐθὺς δὲ μετὰ τὴν δύσιν ἑσπέρα· καὶ μεσούσης μὲν τῆς ἡμέρας, μεσημβρία· τῆς δὲ νυκτὸς, μεσονύκτιον.

## Γ΄. Περὶ Χρόνου.

Τοῦ δὲ Χρόνου εἰς πολλὰ διῃρημένου, μία μὲν τοῦ ἡλίου περίοδος ἐνιαυτὸν ποιεῖ· ὃν καὶ ἔτος καλοῦμεν· τῆς δὲ σελήνης, μῆνα. Ἀριθμοῦμεν δὲ τοῦ μὲν μηνὸς ἡμέρας τριάκοντα, ἑκάστης δὲ ἡμέρας ὥρας εἰκοσσιτέσσαρας, ἑκάστης δὲ ὥρας, λεπτὰ ἑξήκοντα. Εἰσὶ δὲ τοῦ ἐνιαυτοῦ ὧραι τέσσαρες, ἔαρ, θέρος, μετόπωρον, καὶ χειμὼν, ὧν ἑκάστη ἐκ τριῶν συνίσταται μηνῶν, τοῦ ὅλου ἐνιαυτοῦ εἰς δυοκαίδε-

ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

κα διαιρουμένου· ὥστε οἱ μῆνες εἰσὶ δυοκαίδεκα. Ἰαννουάριος, Φευρουάριος, Μάρτιος, Ἀπρίλλιος, Μάϊος, Ἰούνιος, Ἰούλιος, Αὔγουστος, Σεπτέμβριος, Ὀκτώβριος, Νοέμβριος, Δεκέμβριος. Οὗτοι δὲ ἀναλογούμενοι τοῖς Ἀττικοῖς μησὶ, λέγοιντ' ἄν. Γαμηλιὼν, Ἐλαφηβολιὼν, Μουνυχιὼν, Θαργηλιὼν, Σκιροφοριὼν, Ἑκατομβαιὼν, Μεταγειτνιὼν, Βοηδρομιὼν, Μαιμακτηριὼν, Πιανεψιὼν, Ἀνθεστηριὼν, Ποσειδεών.

## Δ΄. Περὶ Πυρός.

Τοῦ δὲ Πυρὸς ἰδιότητες μέν εἰσι, τὸ φωτίζειν, τὸ καίειν, τὸ φλέγειν, τὸ πιμπράναι· καί τοι ἐκ μικρᾶς ἀρχῆς ποριζόμενον ἐκ τῶν πυρείων. Ἐκ γὰρ τῆς χάλικος λίθου πυρίτου διὰ τοῦ χάλιβος σπινθῆρες πυρὸς ἐκτρίβονται, οὓς ἐκδέχεται ἔναυσμά τι ὕσκα καλούμενον, ἐξ οὗ ἀνάπτομεν τὸ θεῖον· ὅθεν τὸ κηρίον, ἐξ οὗ τὸν μὲν λύχνον, ἵνα φωτίζῃ, καὶ τὴν δᾷδα, καὶ τὴν λαμπάδα· τὰ δὲ ξύλα, ἵνα καίωσι· ἐξ ὧν ἐγείρεται φλόξ. Ταύτης δὲ ἐπιλαβούσης τὰς οἰκοδομὰς, ἐμπρισμὸς γίνεται. Σημεῖον δὲ τοῦ πυρὸς, ὁ καπνός· ὃς ἐξερχόμενος τῆς καπνοδόχης πυργοῦται, προσκείμενος δὲ αὐτῇ λιγνὺς εἴτ οὖν καπνιὰ γίνεται. Καὶ ἐκ μὲν καιομένων ξύλων δαλοὶ καὶ ἄνθρακες, καὶ θυμάλωπες (ξύλα δὲ οὗτοι ἀποσβεσθέντα) γίνονται· τέφρα δὲ καὶ αἰθάλη καὶ σποδὸς, καυθέντων.

## Ε΄. Περὶ Ἀέρος.

Τοῦ δὲ Ἀέρος ἡ μὲν αὖρα, πρᾴως· λαύρως δὲ, ὁ ἄνεμος, καὶ ἡδέως ὁ ζέφυρος πνεῖ. Καὶ ἡ μὲν καταιγὶς ἢ ἄελλα δένδρα καταβάλλει· ὁ δὲ λαίλαψ ἢ στρόβυλος περιειλούμενος, εἰς ὕψος αἴρει τὰ προστυχόντα. Τὸ δ' ὑπόγειον πνεῦμα, ὁ ὑποκρυπτόμενος δηλαδὴ τῇ γῇ ἀὴρ, σεισμὸν ποιεῖ, θερμαινόμενος καὶ ἐκτεινόμενος· ὃς διαῤῥηγνύων τὴν γῆν, χάσματα ἀπεργάζεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΟΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ϛʹ. Περὶ Ὕδατος.

Τὸ δὲ ὕδωρ βρύει μὲν ἐκ τῆς πηγῆς, καταῤῥεῖ δὲ ἐν χειμάῤῥῳ, καὶ ἐν χαράδραις, καὶ ἐν ῥύαξι, καταπίπτει δὲ ἐκ τῶν καταῤῥακτῶν, ῥέει δὲ ἐν ποταμοῖς, ἠρεμεῖ δὲ ἐν λίμναις· δίνην δὲ ποιεῖ περὶ ἑαυτὸ στρεφόμενον· ἕλη δὲ ἐν τοῖς καταπύκνοις τόποις· καὶ ὄχθας περὶ τοὺς ποταμούς. Περὶ δὲ τὴν θάλασσαν, αἰγιαλοὺς, ἠϊόνας, ἀκτὰς, κόλπους, ἀκρωτήρια, νήσους, χεῤῥονήσους, ἰσθμοὺς, πορθμοὺς, σκοπέλους, καὶ ὑφάλους πέτρας.

## Ζʹ. Περὶ Μετεώρων.

Τὰ δὲ Μετέωρα οὕτως ἔχει τὴν ἀρχήν. Ἐκ μὲν τοῦ ὕδατος ἀναβαίνει ἀτμὶς, ἐκ ταύτης δὲ νεφέλη γίνεται, ἡ ὁμίχλη, προσγείου οὔσης· ἐκ δὲ τῆς νεφέλης σταγὼν, ψεκὰς, βροχὴ, ὑετὸς, καὶ ὄμβρος καταπίπτει, καὶ χιὼν καὶ χάλαζα, πηγνυμένης τῆς ἀτμίδος. Ὅθεν λέγομεν· βρέχει, ὕει, νήφει. Ἀντικειμένης δὲ τῆς νεφέλης τῷ ἡλίῳ, ἶρις φαίνεται. Πάλιν δὲ ἐκ τῶν σταγόνων τοῦ ὕδατος πομφόλυγες γίνονται, ἐξ ὧν ἀφρὸς· καὶ πηγνύμενον τὸ ὕδωρ κρύσταλλος γίνεται. Πολλάκις δὲ καὶ ἀστραπαὶ ἐκ τῶν νεφελῶν φαίνονται ἐξερχόμεναι, καὶ βρονταὶ ἀκούονται, καὶ κεραυνὸς ἢ σκηπτὸς ἐπισκήπτει.

## Ηʹ. Περὶ Γῆς.

Ἐπὶ δὲ τῆς γῆς ἐστιν ἰδεῖν ὄρη ὑψηλὰ, καὶ βουνοὺς καὶ λόφους ἐπηρμένους, βαθέα ἄγγη καὶ φάραγγας καὶ κοιλάδας, κοῖλα σπήλαια καὶ ἄντρα, ὁμαλὰ πεδία, καὶ ὕλας κατασκίους, καὶ δάση κατάπυκνα. Γεννῶνται δὲ, ἐν μὲν λειμῶσι χλόη, πόα, ἄνθη, ὧν ἀποκοπέντων, χιλὸς καὶ χόρτος γίνεται· ἐν δ' ἀγροῖς σῖτος, πυρὸς, κριθὴ, ζειὰ, καὶ τὰ τοιαῦτα· πρὸς δὲ τούτοις καὶ λαχάνων πολλὰ εἴδη· ἐν δὲ ταῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Ματής Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὕλαις μύκηταις, κόμαρα, μύρτιλλοι· ὑπὸ δὲ γῆν μέταλλα καὶ λίθοι αὔξονται.

## Θ΄. Περὶ Μετάλλων.

Τῶν δ' οὖν Μετάλλων ὁ μὲν μόλυβδος ἐστὶ μαλακὸς καὶ βαρύς· ὁ δὲ σίδηρος σκληρός· σκηλρότερος δ' αὐτοῦ ὁ χάλυψ· ὁ δὲ χαλκὸς σιδήρου μὲν μαλακώτερος, κασσιτέρου δὲ σκληρότερος· ὁ δὲ κασσίτερος μολύβδου σληρότερός ἐστι, καὶ κουφότερος· ὁ δ' ἄργυρος σκληρότερος μὲν τοῦ χρυσοῦ, τιμιώτερος δὲ πολὺ ὁ χρυσὸς τούτου· ὁ δὲ ὑδράργυρος ῥέων ἐστὶ, καὶ τὰ μέρη αὐτοῦ ῥᾳδίως ἀπ' ἀλλήλων χωρίζεται, καθάπερ τὰ τοῦ ὕδατος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ι΄. Περὶ Λίθων.

Τῶν δὲ Λίθων κοινὴ μὲν ἡ ψάμμος, ὁ λίθος μέρος ὢν τῆς πέτρας, ἡ ἀκόνη, ἡ χάλιξ, ἡ μάρμαρος, λίθοι ὄντες ἀνήλιοι. Τῶν δὲ τιμίων ὁ μὲν ἀδάμας, λευκός· ὁ δ' ἄνθραξ, ἐρυθρός· ἡ δὲ σάπφειρος, κυανή· χλωρὰ δὲ, ἡ σμάραγδος· οὗτοι δὲ γωνιώδεις γενόμενοι, στίλβουσιν. Οἱ δὲ μαργαρῖται ἐν κόγχαις αὔξονται· καθάπερ καὶ τὸ κοράλλιον κατὰ δένδρα ἐν θαλάσσῃ· καὶ τὸ ἤλεκτρον δέ· ἡ δ ὕελος ὁμοία ἐστὶ κρυστάλῳ· ὁ δὲ μάγνης ἕλκει τὸν σίδηρον.

## ΙΑ΄. Περὶ Δένδρων.

Πάντα μὲν τὰ φυτὰ ἐκ σπέρματος ἴσχει τὴν ἀρχήν· εἰς θάμνους δ' ἀποβαίνοντα, φύτρον προσκτᾶται, καὶ παραφυάδας· ὁ δὲ θάμνος ἀποδενδροῦται. Ἀλλὰ τὸ μὲν δένδρον ἀνέχουσιν αἱ ῥίζαι· ἐκ δὲ τῶν ῥιζῶν ἀνίσταται τὸ στέλεχος· κἀκ τοῦ στελέχους οἵ τε ἀκρέμονες καὶ οἱ κλάδοι, εἴ τ' οὖν κλῶνες· ἐξ ὧν οἱ καρποὶ καὶ τὰ

ΕΛΛ. πρ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φύλλα ἐκφύονται. Καὶ τὸ μὲν πρὸς αὐταῖς ταῖς ῥίζαις ὤν, ςέλεχος καὶ πρέμνον λέγεται· κορμὸς δὲ τὸ ὑπερέχον σῶμα, χωρὶς τῶν ἀκραιμόνων· οἱ δὲ κλάδοι, καὶ ἀκρέμονες, καὶ κλῶνες, καὶ πτόρθοι, ὀρθοὶ ὄντες, ὀνομάζονται· ὥσπερ καὶ τὰ φύλλα πλατέα ὄντα πέταλα καλεῖται. Τὸ δὲ πάντων ἀνώτατον μέρος κορυφὴ καλεῖσθαι εἴωθε τοῦ δένδρου. Ὁ δὲ φλοιὸς τὸ περιέχον ἐστὶ τὸν κορμὸν, τὰ ςελέχη καὶ κλῶνας, καὶ τὰ λοιπὰ πάχος ἔχοντα μέρη τοῦ δένδρου. Ὁ δ' ἰξὸς τοῖς κλάδοις ἐμφύεται τῶν δένδρων, ἐξ ὧν ῥητίνη βλύζει. Καὶ θαλλὸς μὲν λέγεται ἰδίᾳ τῆς ἐλαίας ὁ κλάδος, καὶ τοῦ φοίνικος. θρίον δὲ τὸ τῆς συκῆς φύλλον· καὶ οἴναρον τὸ τῆς ἀμπέλου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΙΒ΄. Περὶ Καρπῶν τῶν δένδρων.

Τῶν δὲ Καρπῶν ἐκ τοῦ εἴδους ἕκαστος τῶν δένδρων τὰς κλήσεις ἔλαχον. Τῆς μὲν γὰρ μηλέας ὁ καρπὸς λέγεται μῆλον· τῆς δὲ ἀπίου, ἄπιον· τοῦ δὲ κεράσου, κεράσιον· τῆς δὲ κοκκυμηλέας, κοκκύμηλον· καὶ τῆς μὲν μορέας, μόρον· τῆς δὲ λεπτοκαρίας, λεπτοκάριον· τῆς δὲ καστάνου, κάστανον. Καὶ τῶν μὲν καρίων καὶ λεπτοκαρίων τὰ ἔξω κελύφη λέγονται· λόπισμα δὲ τοῦ καστάνου. Καὶ τῆς μὲν ῥοιᾶς ὁ καρπὸς ὁμοίως ῥοιὰ λέγεται· ὥσπερ καὶ τῆς ὄχνης, ὄχναι· καὶ ἀχράδες· καὶ τῆς ἐλαίας, ἐλαία, καὶ ἐλάα· καὶ τῆς ἀμυγδαλῆς δὲ, ἀμύγδαλον· τοῦ δέ τοι φοίνικος, ψὴν, βάλανος, καὶ σπάθη.

## ΙΓ΄. Περὶ Ἀκάρπων δένδρων.

Εἰσὶ δὲ καὶ δένδρα ἄκαρπα· οἷον· ἐλάτη, δρῦς, πλάτανος, πεύκη, πτελέα, αἴγειρος, λεύκη, δάφνη, πίτυς, κυπάρισσος, ἰτέα, σημύδα, φιλύρα. Τούτων δ' ἄρκευθος καὶ δάφνη ἀκρόδρυα φύει, ἡ δὲ πεύκη, ςροβίλους· καὶ ἡ δρῦς, βαλάνους καὶ κηκίδας.

Ε.Υ.Δ της Κ.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΙΔ΄. Περὶ Ἀνθέων.

Τῶν δ' ἀνθέων ἐν μὲν τοῖς ἡμέροις γνωστὰ μάλιστά εἰσιν, ἐν ἔαρι ἀνθοῦντα, τὸ ἴον, ὁ ὑάκινθος, ὁ νάρκισσος, τὰ λευκὰ καὶ ξανθὰ κρίνα, τὸ ῥόδον, τὸ καρυόφυλλον· ἐξ ὧν στέφανοι πλέκονται· τούτοις δὲ προστίθενται καὶ αἱ εὔοσμοι πόαι· ὡς ἐστίν· ἀμάρακον, ἀμάρανθος, ἀδίαντον, πήγανον, ὀρίγανον, λιβανωτὶς, ὕσωπον, νάρδος, κύμινον, σφακὸς, ἡδύοσμος· ἐν δὲ τοῖς ἀγρίοις, τὸ σπλήνιον, ἡ χαμαίδρυς, κυανὸς, χαμαίμυλον. Τούτοις δὲ προστίθενται καὶ αἱ ἄγριαι πόαι· ὁ κύτισος, τὸ ἀψίνθιον, ἡ ὀξαλὶς, ἡ ἀκαλήφη· ἡ δὲ τυλίπη κόσμος ἐστὶ τῶν ἀνθέων· οὐκ ἔστι δὲ εὔοσμος.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΙΖΟΣ

## ΙΕ΄. Περὶ Λαχάνων.

Ἐν δὲ τοῖς κήποις γεννῶνται τὰ λάχανα· οἷον· ἡ θριδακίνη, ἡ κράμβη, τὸ κρόμμυον, τὸ σκόροδον, οὗ τὰ μέρη σκελίδες λέγονται· τὸ πράσον, τὰ σίσαρα, ἡ γογγύλη, τὸ κάρος, ἡ ῥάφανος, τὸ σέληνον, τὸ πετροσέληνον, οἱ σίκυοι ἢ σίκυες, οἱ πέπωνες, οἱ μελῶνες, καὶ ἡ κολοκύνθη.

## Ιϛ΄. Περὶ Σίτου.

Τῶν δὲ σίτων τὰ μὲν καλάμῃ αὔξεται ἄρθρα μεταξὺ ἐχούσῃ, ἃ γόνατα καλεῖται· οἷον· ὁ πυρὸς, ἡ σηλιγνὺς, εἴτ' οὖν ὄλυρα, ἢ ζεά· καὶ ἡ κριθή. Τούτων δ' ὁ ἄσταχυς ἤτοι ἀνθέρικας ἔχει, ἢ κολοβὸς ἐστίν· συνέχει μέντοι τοὺς κόκκους τῷ ἐλύτρῳ. Εἰσὶ δὲ ἃ, ἀντὶ στάχυος ἀνθήλην ἔχοντα, φακελληδὸν τοὺς κόκκους συνέχουσιν· οἷον· ὁ ἀκρόσπελος, ἡ κέγχρος, ὁ ἔλυμος. Τὰ δὲ ὄσπρια θήκας τινὰς ἔχει λοβοῖς συγκλείοντα τοὺς κόκκους· οἷον· τὰ πίσα, οἱ κύαμοι, τὸ βίκιον, ὁ ἐρέβινθος, καὶ αἱ φακαί.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΙΗ΄. Περὶ Θάμνων.

Τῶν δὲ φυτῶν τὸ μεῖζον καὶ σκληρότερον τῆς βοτάνης θάμνος καλεῖται. Εἰσὶ δὲ, ἐν μὲν ταῖς ὄχθαις τῶν ποταμῶν καὶ λίμναις σχοῖνος, σχοῖνος ἄνοζος, φάλαγγας ἔχων· ἔνδον δὲ τούτων κοῖλος κάλαμος, γόνατα ἔχων. Ἡ δ' ἄμπελος κλήματα φέρει· τὰ δὲ, ἕλικας, οἴναρα, καὶ βότρυς· αἱ δὲ σταφυλαὶ ῥάγας φέρουσιν· ἐξ ὧν οἶνος ἀποθλίβεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΚΑΙ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΙΗ΄. Περὶ Ὀρνίθων.

Τοῦ δὲ ζώου ἴδιον τὸ ζῆν, *αἰσθάνεσθαι*, κινεῖσθαι, γεννᾶσθαι, ἀποθνήσκειν, τρέφεσθαι, αὔξεσθαι, ἵστασθαι, κάθησθαι, κεῖσθαι, βαδίζειν. Καὶ ταῦτα μὲν κοινὰ παντὶ ζώῳ· ἡ δ' ὄρνις πτίλοις καλύπτεται, πτεροῖς ἵπταται· ἑκάστη δὲ δύο αἱ πτέρυγες, καὶ πόδες ἴσοι· ῥάμφος δὲ ἔχει, δι' οὗ ἐσθίει, καὶ ὀῤῥοπύγειον τὸ ὄπισθεν δὴ μέρος. Τούτων δ' ἡ θήλεια ὠὰ τίκτει ἐν τῇ νεοττιᾷ εἴτ' οὖν καλιᾷ, καὶ ἐπωάζουσα, νεοσσοὺς φύει. Τοῦ δὲ ὠοῦ τὸ μὲν ἐκτὸς κέλυφος. τὸ δὲ, λευκόν· καὶ χρυσοῦν τὸ ἔνδον λέγεται καὶ λέκιθος.

## ΙΘ΄. Περὶ τῶν Κατοικιδίων Ὀρνίθων.

Τῶν συνήθων ἐν οἴκοις Ὀρνίθων, ὁ μὲν ἀλέκτωρ, ἢ ἀλεκτρυών, ὃς ἐπὶ τῆς κεφαλῆς λόφον ἔχει κυρβασίαν λεγόμενον, τῷ τε καλλαίῳ ὑπὸ ταῖς σιαγῶσι κεκόσμηται, καὶ πλήκτροις τοῖς ποσὶ, δι' ὧν μάχεται· ὁ δ' ἐκτετμημένος τῶν ἀλεκτρυόνων ἐκτομίας λέγεται· οἰκεῖ δὲ ἐν τῷ ὀρνιθονομείῳ· ἡ δ' ἀλεκτορὶς, θήλεια οὖσα, κόπρους σκαλεύειν εἴωθεν ἑαυτῆς καὶ τῶν τέκνων ἕνεκεν. Αἱ δὲ περιστεραὶ ἐν τῷ περιστερῶνι τρέφονται. Αἱ δὲ ἀφρικαναὶ μελεαγρίδες, κατάστικτα τὰ ὠὰ τίκτουσιν· τῶν δὲ χηνῶν αἱ θήλειαι, λευκὰ κατὰ τὰ τῶν ἀλεκτο-

Ε.Δ. τμ. Κ.Τ.Ψ. ΙΩΑΝΝΙΝΑ 2006